## Τῇ 25ῃ Ἰανουαρίου

## Μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου (Ναζιανζηνοῦ) (†390).

Ἐν Σαββάτῳ, ἦχος πλ. α΄

### ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης.

Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ, τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμός ργ' (103ος)

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε, ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς Σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς Σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων Σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἅς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγή τοῖς λαγῳοῖς.
Ἐποίησεν σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς Σου.
Αὕτη ἡ θάλασσα, ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτήν.
Πάντα πρὸς Σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος Σου αὐτοῖς, συλλέξουσι.

Ἀνοίξαντός Σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ Σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι.
Ἐξαποστελεῖς τὸ πνεῦμά Σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός

Ἦχος Δι




Ὁ Διάκονος.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός (μεθ' ἑκάστην δέησιν).

Ἦχος Νη






Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β΄ χορός·




Ἀθ. Καραμάνη († 2012)

Ἦχος λ/π Νη




Ὁ β΄ χορός·













Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β´ χορός·




Ὁ Διάκονος·

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α´χορός.




Ὁ Ιερεύς

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Ἦχος Πα

### Ὁ α΄χορός.




### Ψαλμὸς ρμ΄ (140)




### Ὁ β΄χορός.

---

1 




Καὶ κατόπιν, ἀντιφωνικῶς ὑπὸ τῶν δύο χορῶν

(Οἱ στίχοι αὐτοὶ τῶν ψαλμῶν ρμ΄ και ρμα΄, ἐν ταῖς ἐνορίαις συνήθως παραλείπονται.)




Συν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν και
ου μη συν δυ α σω με τα των ε κλε κτων αυ των
Παι δευ σει με δι ι καιος εν ε λε ει και ε λεγ ξει
με ε ε λαι ον δε α μαρ τω λου μη λι πα να α τω την κε
φα λην μου
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο κι
αις αυ των κα τε πο θη σαν ε χο με ναι πε τρας οι κρι
ται αυ των
Α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη σαν ω
σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι
σθη τα οστα αυ των πα ρα τον Α α δην
Ο τι προς Σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
μου ε πι Σοι οι η λ πι σα μη αν τα νε λης την ψυ χην μου




Ψαλμὸς ρμα΄ (141)




Κ ατ ε νο ουν εις τα δε ξι α και ε πε βλε πον και
ουκ η ην ο ε πι γι νω σκων με
Α πωλε το φυ γη απ ε μου και ουκ ε ε στιν ο εκ ζη
τω ων την ψυ χην μου
Ε κε ε κρα ξα προς Σε Κυ ρι ε ει πα Συ ει η ελ πις
μου με ρι ις μου ει εν γη ζω ων των
Π ρο σχες προς την δε η σιν μου ο ο τι ε τα πει νω
θην σφο δρα
Ρ υ σαι με εκ των κα τα δι ω κον των με ο ο τι ε κρα
ται ω θη σαν υ περ ε με ε ε
Ε ξα γα γε εκ φυ λα κης την ψυ χην μου του ε ξο μο
λο γη σα σθαι τω ο νο μα τι ι Σου

με υ πο με νου σι δι και οι ε ως ου αν τα πο δω

ως μοι

Ψαλμός ρκθ΄ (129ος)

Ε κ βα θε ων ε κε κρα ξα Σοι Κυ ρι ε Κυ ρι ε ει

σα α κου σον της φω νης μου

Γε νη θη ητω τω τα ω τα Σου προ σε χον τα εις την φω

νη ην της δε η σε ω ως μου

Ἦχος α΄. Πα

Ὁ α΄χορός.

Ε αν α νο μι ας πα ρα τη ρη σης Κυ ρι

ε Κυ ρι ε τις υ πο στη σε ται ο τι πα ρα

Σοι ο ι λα σμος ε στι

Πανεύφημοι Μάρτυρες

Πάτερ Γρηγόριε τὰ σά, χείλη οὐχ ὁ πρόξενος, τῆς λήθης τάφος ἐκάλυψε· θεολογίας γάρ, ἀνεδείχθης στόμα, εὐσεβείας δόγματα, καὶ νῦν τῇ οἰκουμένῃ φθεγγόμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὁ β΄χορός.




Πάτερ Γρηγόριε σοφῶς, τῆς σαρκὸς ἐξέκλινας, τὸ δυσμενὲς καὶ ἐπίβουλον· οὐρανοδρόμῳ τε, ἐπιβὰς τεθρίππῳ, ἀρετῶν ὀχήματι, ἀνέπτης πρὸς τὸ κάλλος τὸ ἄρρητον, οὗ ἐμφορούμενος, νῦν βραβεύεις ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὁ α΄χορός.




Πάτερ Γρηγόριε Θεοῦ, καὶ ἀνθρώπων γέγονας, πιστὸς μεσίτης τῇ χάριτι· καὶ νῦν εὐΐλατον, εὐπαρρησιάστοις, προσευχαῖς τιθεὶς ἡμῖν, Χριστὸν μὴ διαλίπῃς πρός Κύριον, πρεσβεύων Ὅσιε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἦχος ϐ΄.

Ὁ β΄χορός.




Ποίοις εὐφημιῶν

Δεῦτε, ἐν ἱεροῖς μέλεσιν, εὐφημήσωμεν τὸν θεηγόρον, τὸ γρήγορον ὄμμα τῆς χάριτος, καὶ πάνσοφον στόμα τοῦ Πνεύματος· τὸν λαμπρὸν φωστῆρα οἰκουμένης, τὸ μέγα τῆς Ἐκκλησίας περιήχημα, τὸ κλέος ὀρθοδοξίας τὸ πανθαύμαστον, θεολογίας τὴν βρύσιν· τῶν θείων δογμάτων, τὸν ἀέναον ποταμόν, τὴν πηγὴν τὴν βρύουσαν, ἀμβροσίας θεῖα νάματα.

Ὁ α΄χορός.




Πόθῳ, πνευματικῷ σήμερον, ἀνυμνήσωμεν τὸν Ἱεράρχην, τὸν τῶν Ἀποστόλων ὁμότροπον, καὶ τῆς εὐσεβείας ὑπέρμαχον, τῆς θεηγορίας τὴν πλημμύραν, τὸ ῥεῦμα τῆς διδασκαλίας τὸ ἡδύτατον, τῶν λόγων τῶν ὑψηγόρων τὴν ἀσφάλειαν, τὰ οὐρανόβροντα χείλη· τὴν πυρίπνουν γλῶσσαν, τῆς σοφίας τὸν θησαυρόν, τοῦ Λόγου τὸν κήρυκα, τῶν Πιστῶν τὸ ἐγκαλλώπισμα.

Ὁ β΄χορός.




Ὕμνοις χρεωστικοῖς ἅπαντες, ἐπαινέσωμεν τὸν Θεολόγον· τοῦ Χριστοῦ τῆς ποίμνης τὸν φύλακα, ἀγρευτὴν τῶν λύκων δὲ πάνσοφον, ζιζανίων νόθων

ἐλατῆρα· σπορέα ὀρθῶν δογμάτων τὸν πανθαύμαστον, διώκτην αἱρετιζόντων ἰσχυρότατον, τὸν ἐπαυξήσαντα ὄντως, ἐγρηγόρσει θείᾳ, τοῦ Χριστοῦ τὰ τάλαντα ὡς εἰκός, καὶ κόσμον φωτίσαντα, διδαχῶν θείαις λαμπρότησι.

Ἦχος λ/π Νη

Ὁ α΄χορός.






Ἦχος $\frac{\lambda}{\pi}$ q̈ Πα

Ὁ β΄ χορός.




το θεοτοκίον τοῦ ἀποδιδομένου ἤχου.




του ου υ υ υ υ δαα α α τος εν (2) θα δεΓαβρι
ηλ υ πη η ρε ε τη ης του θα α αυ μαα α α
τος το τε τον βυ θον ε πε ζευσεν α βρο ο χω ως
Ι ι σρα ηλ νυ υυν δε τον Χρι στον ε γε εν νη
η η σεν α ασπο ο ρως η η Πα α αρ θεε ε ε νος η
θα λα α ας σα α με τα την πα ρο δο ον του ου Ι
ι σρα ηλ ε ε μει νε εν α α α α βα α α α τος
η (3) α α α α α α α με ε ε ε η α με εμ πτο ο
ο ο ο ωο ο ο ο ο ο ος με τα τη ην κυ η σιν του
Εεμμα νου ου ηλ ε μει ει νεν α α α φθο ο ο ο ρος


2
θα α α δε ε Γα α βρι ι ι ηλ υ πη ρε
3
α α α α α α ωε η α α α μεεμπτος




Εἴσοδος.

Ὁ Ἱερεύς

Σοφία, ὀρθοί.

ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ κόσμος σὲ δοξάζει.

Ἐὰν δὲ εἰσοδεύουν δύο ἢ περισσότεροι ἱερεῖς, ψάλλουν αὐτοὶ τὴν ἐπιλύχνιον εὐχαριστίαν.

Ἰωάννου Σακελλαρίδη

διασκευασθὲν ὑπὸ Ἀθ. Καραμάνη

Ἦχος β΄. 






Ὁ Διάκονος ἐκφωνεῖ

Ἑσπέρας Προκείμενον.

Ἦχος Γα




Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός.



Ὁ Ἀναγνώστης

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. 10, 6-7 & 3, 13-16 & 8,... )

Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Μνήμη δικαίου μέτ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. 4, 7-15)

Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Ἐκλογὴ)

## Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

## Ὁ Ἀναγνώστης

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν,καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεοτητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί, σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλὸς ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ  Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δὸς μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ μὲ ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Ὁ Διάκονος ἐκφωνεῖ

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

## Ἦχος λ/π ᾳ Πα ἐναρμόνιος

## Ὁ α΄ χορός·

Κ υ ρι ε ε λε η σον

Ὁ Διάκονος

Κύριε παντοκράτορ, ὁ Θεὸς …

Ὁ α΄ χορός, μεθ' ἑκάστην δέησιν.

Κ υ ρι ε ε λε η σον Κυ ρι ε ε λε η σον Κυ ρι ε ε λε η σον

Ὁ Διάκονος

Ἐλέησον ἡμᾶς, ὁ Θεός, …

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν…

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν…

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς …

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων …

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων …

εἰς δὲ τὴν τελευταίαν

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν διακονίαις ὄντων …

Κ υ ρι ε ε λε η σον

Ὁ Ἱερεύς

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστώς, ἢ ὁ ἀναγνώστης·

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν

χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων. Ἀμήν.

Ὁ Διάκονος ἐκφωνεῖ

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ β΄ Χορός (μεθ’ ἑκάστην δέησιν).

Ἦχος λ/π ᾳ Πα ἐναρμόνιος




Ἰωάννου Παλάση

Ἦχος λ/π ᾳ Πα χ




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ χορός




Ὁ Διάκονος

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Ὁ β΄ Χορός (μεθ' ἑκάστην αἴτησιν).

Κωνσταντίνου Πρίγγου (1892 - †1964)




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς

Εἰρήνη πᾶσι.

Ὁ β΄ Χορός.




Ὁ Διάκονος

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς μυστικῶς

Ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γάρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντός ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Ὁ Ἱερεύς ἐκφώνως

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰς τὸν Στίχον, τὰ Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α´ Πα

Ὁ α´χορός.




Χαίροις ἀσκητικῶν ἀληθῶς

Χαίροις θεολογίας πηγή, καὶ θεωρίας ὑψηλῆς ἐνδιαίτημα· τὸν ἄνω βυθὸν γὰρ Πάτερ, μετ’ εὐσεβοῦς λογισμοῦ, ἐρευνήσας πᾶσι διετράνωσας, τρισὶν ἐν Ἡλίοις, μίαν φωτὸς εἶναι σύγκρασιν, ἑνιζομένην, τῷ ταυτῷ τῆς Θεότητος, τρισσουμένην δέ, ταῖς σεπταῖς ὑποστάσεσι· βίου μὲν καθαρότητι, λαμπρότητι λόγων δέ, σέβειν διδάσκων Τριάδα, τὴν παναγίαν Θεόπνευστε· παρ’ ἧς ἐκπεμφθῆναι ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Ὁ β´χορός.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν

Αἴγλη θεολογίας τῆς σῆς, τὴν τῶν αἱρέσεων σκοτόμαιναν ἔλυσας· πηγὴν γὰρ ἀπαυγασμάτων, θεοσεβεῖ λογισμῷ, Θεολόγε φθάσας καὶ θεόφρονι, αὐγαῖς ταῖς ἐκεῖθεν, ἐκδιδομέναις ὡμίλησας· διαφανὲς γάρ, τὸν σὸν νοῦν ὥσπερ ἔσοπτρον, ἐργασάμενος, τὸ τρισσὸν τῆς Θεότητος, Πάτερ φῶς καὶ ἀμέριστον, ἐδέξω λαμπρότατα, καὶ τήν ἀκτῖνα πλουσίως, τὴν ἑνιαίαν ἐχώρησας· ἣν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Ὁ α´χορός.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Χαίροις ὁ ποταμὸς τοῦ Θεοῦ, ὁ ἀεὶ πλήρης τῶν ὑδάτων τῆς χάριτος, ὁ πᾶσαν εὐφραίνων πόλιν, τοῦ Βασιλέως Χριστοῦ, τοῖς ἐνθέοις λόγοις καὶ διδάγμασι, τρυφῆς ὁ χειμάρρους, τὸ ἀνεξάντλητον πέλαγος· ὁ τῶν δογμάτων, ἀκριβὴς φύλαξ ἔννομος· ὁ θερμότατος, τῆς Τριάδος ὑπέρμαχος, ὄργανον τὸ τοῦ Πνεύματος, ὁ νοῦς ὁ ἐγρήγορος· εὔηχος γλῶσσα τὸ βάθος, τὸ τῶν Γραφῶν ἑρμηνεύουσα, Χριστὸν νῦν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ´ Νη

Ὁ β´χορός.


Δ ο ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι
Τ ας καρ δι ας των πι στω ων
γε η πο γων τη γλω ττη σου Γρη γο
ρι ε ευ σε βει ας εν
α αυ ταις α ει θα λεις ε βλα στη σα ας καρ
που ους τω Θε ω τα ας α καν θω
δεις αι ρε σεις προρ ρι ζο ον εκ
τε μων και κο σμων τους λο γι σμου ους
κα θα ρο τη τι Δι ο


δε χο με νος η μω ων τα ε εγ χω
μι α η θει α λυ
ρα ο γρη γο ρο ος ο φθα αλ
μο ος των ποι με νω ων ο ποι η μη
ην ο των λυ χω ων α γρε ευ τη ης
πρε σβε ευ ε εκ τε νω ως Θε ο
λο γε τω Λο
γω υ πε ερ τω ων ψυ χω ων
η μων

Ὁ α΄χορός.


Και νυ υν και α ει ει και εις τους αι ω νας των αι
ω νων α μην

Τὶ ὑμᾶς καλέσωμεν

Πάντων ἡ ἀντίληψις Δέσποινα, κλονουμένῳ μοι Παρθένε, ἐκ τοῦ σκότους τῶν δεινῶν, ταῖς τοῦ βίου τρικυμίαις, ποντουμένῳ τε ἀεί, ῥανίδα, τοῦ ἐλέους σου κατάπεμψον, καὶ χεῖρα, βοηθείας σου παράσχου μοι· καὶ τῆς μερίδος ἀξίωσον, τῶν ἐκλεκτῶν, καὶ δικαίων με, ὡς ἄβυσσον, τετοκυῖα τοῦ ἐλέους Ἁγνή.

Ὁ Ἱερεύς

Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α΄ χορός·

Ἦχος α΄. Πα




Ἀπολυτίκιον


Θ ποι με νι κος αυ λος της θε ο λο γι ας
σου τας των ρη το ρων ε νι ι κη σε σαλ πιγ γας
ως γαρ τα βα θη του Πνευ μα τος εκ ζη τη σαν τι και
τα καλ λη του φθε εγ μα τος προ σε τε θη σοι αλ λα
πρε σβευ ε Χρι στω τω Θε ω Πα α τερ Γρη γο ρι ε σω
θη ναι τας ψυ χα ας η η μων
Ὁ β΄ Χορὸς
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα
τι
Ὁ α΄χορός.
Και νυν και α ει και εις τους αι ω νας των αι ω νων
α μην
Ὁ β΄χορός.
Του Γα βρι ηλ φθεγ ξα με νου σοι Παρ θε νε το χαι αι
ρε συν τη φω νη ε σαρ κου το ο των ο ο λων Δε σπο




Ἀπόλυσις

ἐὰν προηγήθη ἀρτοκλασία

Ὁ Διάκονος ἡ Ὁ Ἱερεύς

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός.




Ὁ Ἱερεύς·

Εὐλογία Κυρίου καὶ ἔλεος…

ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία

Ὁ Διάκονος

Σοφία!

Ὁ λαός

Εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ἀκολούθως εἰς ἀμφοτέρας τὰς περιπτώσεις

Ὁ Προεστώς ἢ ὁ Ἀναγνώστης.

Ἀμήν.

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴ ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὁ Ἱερεύς (ποιεῖ ἀπόλυσιν)

Δόξα Σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα Σοι,

Ὁ Ἀναγνώστης.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Κύριε ἐλέησον (γ'), Πάτερ (ἢ Δέσποτα) ἅγιε, εὐλόγησον.

Ὁ Ιερεύς συνεχίζει

ὁ ἐν Ἁγίοις θαυμαστὸς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου του Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν, τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου καὶ Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου καὶ Ἱερομαρτύρων Χαραλάμπους και Ἐλευθερίου, τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ ἄννης, τ... Ἁγί... (τοῦ Ναοῦ), τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου, τῶν Ὁσίων Πατέρων ἡμῶν Πουπλίου, Μάρη, Δημητρίου τοῦ σκευοφύλακος, Ἀπολλὼ καὶ τῆς Ἁγίας Μεδούλης καὶ τῆς συνοδίας αὐτῆς, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Κατὰ τὴν διάρκειαν τῆς ἀπολύσεως, εἴθισται ὅπως ὁ Χορός ψάλλῃ τὸ ἑπόμενον.

Ἦχος β΄. Δι




(Χοροστατοῦντος Ἐπισκόπου, λέγεται τὸ)




Ὁ Ἱερεύς (ἢ ὁ χοροστατῶν Ἀρχιερεύς) συνεχίζει

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ χορός.




(Χοροστατοῦντος Ἐπισκόπου, ὁ Ἱερεύς)

Δι’ εὐχῶν τοῦ Ἁγίου Δεσπότου ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ χορός.



Ἐπιμέλεια
Βασίλειος Σταθόπουλος
Ἀντιστράτηγος ε.α. – Μαθηματικός
Πτυχιοῦχος Βυζαντινῆς Ἐκκλησιαστικῆς Μουσικῆς
Ἀθῆναι, Ἰανουάριος 2025
stathovass@gmail.com